μου ἐκβαλῶ αὐτούς, οὐ μὴ προσθήσω τοῦ ἀγαπῆσαι αὐτούς· πάν-
16 τες οἱ ἄρχοντες αὐτῶν ἀπειθοῦντες. [16]ἐπόνεσεν Εφραιμ, τὰς ῥίζας
αὐτοῦ ἐξηράνθη, καρπὸν οὐκέτι μὴ ἐνέγκῃ· διότι καὶ ἐὰν γεννήσω-
17 σιν, ἀποκτενῶ τὰ ἐπιθυμήματα κοιλίας αὐτῶν. [17]ἀπώσεται αὐτοὺς ὁ
θεός, ὅτι οὐκ εἰσήκουσαν αὐτοῦ, καὶ ἔσονται πλανῆται ἐν τοῖς ἔθνεσιν.
10 [1]Ἄμπελος εὐκληματοῦσα Ισραηλ, ὁ καρπὸς αὐτῆς εὐθηνῶν· κατὰ
τὸ πλῆθος τῶν καρπῶν αὐτοῦ ἐπλήθυνεν τὰ θυσιαστήρια, κατὰ τὰ
2 ἀγαθὰ τῆς γῆς αὐτοῦ ᾠκοδόμησεν στήλας. [2]ἐμέρισαν καρδίας αὐ-
τῶν, νῦν ἀφανισθήσονται· αὐτὸς κατασκάψει τὰ θυσιαστήρια αὐτῶν,
3 ταλαιπωρήσουσιν αἱ στῆλαι αὐτῶν. [3]διότι νῦν ἐροῦσιν Οὐκ ἔστιν
βασιλεὺς ἡμῖν, ὅτι οὐκ ἐφοβήθημεν τὸν κύριον, ὁ δὲ βασιλεὺς τί
4 ποιήσει ἡμῖν; [4]λαλῶν ῥήματα προφάσεις ψευδεῖς διαθήσεται διαθή-
5 κην· ἀνατελεῖ ὡς ἄγρωστις κρίμα ἐπὶ χέρσον ἀγροῦ. [5]τῷ μόσχῳ
τοῦ οἴκου Ων παροικήσουσιν οἱ κατοικοῦντες Σαμάρειαν, ὅτι ἐπέν-
θησεν ὁ λαὸς αὐτοῦ ἐπ᾽ αὐτόν· καὶ καθὼς παρεπίκραναν αὐτόν,
6 ἐπιχαροῦνται ἐπὶ τὴν δόξαν αὐτοῦ, ὅτι μετῳκίσθη ἀπ᾽ αὐτοῦ. [6]καὶ
αὐτὸν εἰς Ἀσσυρίους δήσαντες ἀπήνεγκαν ξένια τῷ βασιλεῖ Ιαριμ·
ἐν δόματι Εφραιμ δέξεται, καὶ αἰσχυνθήσεται Ισραηλ ἐν τῇ βουλῇ
7 αὐτοῦ. [7]ἀπέρριψεν Σαμάρεια βασιλέα αὐτῆς ὡς φρύγανον ἐπὶ προσ-
8 ώπου ὕδατος. [8]καὶ ἐξαρθήσονται βωμοὶ Ων, ἁμαρτήματα τοῦ Ισ-
ραηλ· ἄκανθαι καὶ τρίβολοι ἀναβήσονται ἐπὶ τὰ θυσιαστήρια αὐτῶν·
καὶ ἐροῦσιν τοῖς ὄρεσιν Καλύψατε ἡμᾶς, καὶ τοῖς βουνοῖς Πέσατε
ἐφ᾽ ἡμᾶς.
9 [9]Ἀφ᾽ οὗ οἱ βουνοί, ἥμαρτεν Ισραηλ, ἐκεῖ ἔστησαν· οὐ μὴ κατα-
10 λάβῃ αὐτοὺς ἐν τῷ βουνῷ πόλεμος ἐπὶ τὰ τέκνα ἀδικίας; [10]ἦλθεν
παιδεῦσαι αὐτούς, καὶ συναχθήσονται ἐπ᾽ αὐτοὺς λαοὶ ἐν τῷ παιδεύ-
11 εσθαι αὐτοὺς ἐν ταῖς δυσὶν ἀδικίαις αὐτῶν. [11]Εφραιμ δάμαλις δε-
διδαγμένη ἀγαπᾶν νεῖκος, ἐγὼ δὲ ἐπελεύσομαι ἐπὶ τὸ κάλλιστον τοῦ
τραχήλου αὐτῆς· ἐπιβιβῶ Εφραιμ καὶ παρασιωπήσομαι Ιουδαν, ἐν-
12 ισχύσει αὐτῷ Ιακωβ. [12]σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, τρυγήσατε
εἰς καρπὸν ζωῆς, φωτίσατε ἑαυτοῖς φῶς γνώσεως, ἐκζητήσατε τὸν
13 κύριον ἕως τοῦ ἐλθεῖν γενήματα δικαιοσύνης ὑμῖν. [13]ἵνα τί παρ-
εσιωπήσατε ἀσέβειαν καὶ τὰς ἀδικίας αὐτῆς ἐτρυγήσατε, ἐφάγετε καρ-
πὸν ψευδῆ; ὅτι ἤλπισας ἐν τοῖς ἅρμασίν σου, ἐν πλήθει δυνάμεώς
14 σου. [14]καὶ ἐξαναστήσεται ἀπώλεια ἐν τῷ λαῷ σου, καὶ πάντα τὰ
περιτετειχισμένα σου οἰχήσεται· ὡς ἄρχων Σαλαμαν ἐκ τοῦ οἴκου

17 πλανηται] pr. ως A†

10 1 αυτης ευθηνων] tr. B*L**C* | αυτου $1^0$] -της BQ, -των A*† | τα $1^0$ > B*L* *C* | κατα $2^0$] pr. και A || 4 ανετελει (sic) A† || 5 οι > B† | οτι $1^0$] δια τουτο A† | ο AQ*L*] > B*C* || 7 βασιλεα] pr. τον A | προσωπον A || 8 καλυψατε … πεσατε(A*L* -σετε) εφ] tr. A† || 9 τα BQ*C*] > A*L* || 10 ηλθεν > B† || 11 και AQ] > B*LC* || 12 τρυγησ.] + εαυτοις A† | υμιν] ημ. B || 13 τοις > A | αρμασιν] αμαρτημασιν B† || 14 οικησεται A†